τῆς Περσίδος ὅτι ὁ λόγος αὐτοῦ σοφώτερος, αὐτῷ δοθήσεται τὸ
10 11 νῖκος καθὼς γέγραπται. [10]ὁ εἷς ἔγραψεν Ὑπερισχύει ὁ οἶνος. [11]ὁ
12 ἕτερος ἔγραψεν Ὑπερισχύει ὁ βασιλεύς. [12]ὁ τρίτος ἔγραψεν Ὑπερ-
13 ισχύουσιν αἱ γυναῖκες, ὑπὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια. [13]καὶ ὅτε
ἐξηγέρθη ὁ βασιλεύς, λαβόντες τὸ γράμμα ἔδωκαν αὐτῷ, καὶ ἀν-
14 έγνω. [14]καὶ ἐξαποστείλας ἐκάλεσεν πάντας τοὺς μεγιστᾶνας τῆς
Περσίδος καὶ τῆς Μηδίας καὶ σατράπας καὶ στρατηγοὺς καὶ τοπ-
άρχας καὶ ὑπάτους καὶ ἐκάθισεν ἐν τῷ χρηματιστηρίῳ, καὶ ἀν-
15 εγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν. [15]καὶ εἶπεν Καλέσατε τοὺς
νεανίσκους, καὶ αὐτοὶ δηλώσουσιν τοὺς λόγους αὐτῶν· καὶ ἐκλή-
16 θησαν καὶ εἰσήλθοσαν. [16]καὶ εἶπαν αὐτοῖς Ἀπαγγείλατε ἡμῖν περὶ
τῶν γεγραμμένων.
17 [17]Καὶ ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου
18 καὶ ἔφη οὕτως [18]Ἄνδρες, πῶς ὑπερισχύει ὁ οἶνος; πάντας τοὺς
19 ἀνθρώπους τοὺς πίνοντας αὐτὸν πλανᾷ τὴν διάνοιαν. [19]τοῦ τε
βασιλέως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν, τήν τε τοῦ
οἰκέτου καὶ τὴν τοῦ ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν τοῦ
20 πλουσίου. [20]καὶ πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐ-
21 φροσύνην καὶ οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα. [21]καὶ
πάσας καρδίας ποιεῖ πλουσίας καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σα-
22 τράπην καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν. [22]καὶ οὐ μέμνηται,
ὅταν πίνωσιν, φιλιάζειν φίλοις καὶ ἀδελφοῖς, καὶ μετ' οὐ πολὺ
23 σπῶνται μαχαίρας· [23]καὶ ὅταν ἀπὸ τοῦ οἴνου γενηθῶσιν, οὐ μέ-
24 μνηται ἃ ἔπραξαν. [24]ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶνος, ὅτι οὕτως
ἀναγκάζει ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἴπας.
4 [1]Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ
2 βασιλέως [2]Ὦ ἄνδρες, οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι τὴν γῆν
3 καὶ τὴν θάλασσαν κατακρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς; [3]ὁ δὲ
βασιλεὺς ὑπερισχύει καὶ κυριεύει αὐτῶν καὶ δεσπόζει αὐτῶν, καὶ
4 πᾶν, ὃ ἐὰν εἴπῃ αὐτοῖς, ἐνακούουσιν. [4]ἐὰν εἴπῃ αὐτοῖς ποιῆσαι
πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν· ἐὰν δὲ ἐξαποστείλῃ
αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσιν καὶ κατεργάζονται τὰ ὄρη
5 καὶ τὰ τείχη καὶ τοὺς πύργους. [5]φονεύουσιν καὶ φονεύονται καὶ
τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν· ἐὰν δὲ νικήσωσιν,
τῷ βασιλεῖ κομίζουσιν πάντα, καὶ ὅσα ἐὰν προνομεύσωσιν, καὶ
6 τὰ ἄλλα πάντα. [6]καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ πολεμοῦσιν, ἀλλὰ

9 οτι] + ου B† | νικος] -κημα A || 12 τριτος] αλλος A || 13 εδωκαν] pr. επ A || 18 πιοντας B† | τη διανοια AL† || 21 πασας] + τας A || 22 μαχαιρας] pr. τας A || 23 γενηθωσιν (cf. Mac. II 10 27 15 28)] εγερθ. B† | μεμνηται B† (cf. 20. 21. 22)] -ηνται rel. | επραξεν A† || 24 οτι] > A†, ος V
4 3 αυτων 1°] παντων A | ενακουουσιν B(†) (cf. 10)] ποιησουσιν A(†) || 4 ποιουσιν] ποιησουσιν A || 5 οσα > BL†